**La morte di Patroclo (*Iliade*, XVI, vv. 783-857)**



783. Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε.

.......................................................................................................................

784. τρὶς μὲν ἔπειτ' ἐπόρουσε θοῷ ἀτάλαντος Ἄρηϊ

.......................................................................................................................

785. σμερδαλέα ἰάχων, τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν.

.......................................................................................................................

786. ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,

.......................................................................................................................

787. ἔνθ' ἄρα τοι Πάτροκλε φάνη βιότοιο τελευτή·

.......................................................................................................................

788. ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ

.......................................................................................................................

789. δεινός· ὃ μὲν (αυ)τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν,

.......................................................................................................................

790. ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε·

.......................................................................................................................

791. στῆ δ' ὄπιθεν, πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω

.......................................................................................................................

792. χειρὶ καταπρηνεῖ, στρεφεδίνηθεν δέ οἱ ὄσσε.

.......................................................................................................................

……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
…………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………

793. τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·

……………………………………………………………………………………………..

794. ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων

……………………………………………………………………………………………..

795. αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι

……………………………………………………………………………………………..

796. αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν

……………………………………………………………………………………………..

797. ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν,

……………………………………………………………………………………………..

798. ἀλλ' ἀνδρὸς θείοιο κάρη τε χαρίεν μέτωπον

……………………………………………………………………………………………..

799. ῥύετ' Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν

……………………………………………………………………………………………..

800. ᾗ κεφαλῇ φορέειν, σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.

……………………………………………………………………………………………..

801. πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος

……………………………………………………………………………………………..

802. βριθὺ μέγα στιβαρὸν κε-κορυθμένον· αὐτὰρ ἀπ' ὤμων

……………………………………………………………………………………………..

803. ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.

……………………………………………………………………………………………..

804. λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων.

……………………………………………………………………………………………..

805. τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα,

……………………………………………………………………………………………..

……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………
……………………………………………………………………………………………………

806. στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ

…………………………………………………………………………………………..

807. ὤμων μεσσηγὺς σχεδόθεν βάλε Δάρδανος ἀνὴρ

…………………………………………………………………………………………..

808. Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐ-κέ-καστο

…………………………………………………………………………………………..

809. θ' ἔγχεϊ τε ἱπποσύνῃ τε πόδεσσί καρπαλίμοισι·

…………………………………………………………………………………………..

810. καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων

…………………………………………………………………………………………..

811. πρῶτ' ἐλθὼν σὺν ὄχεσφι διδασκόμενος πολέμοιο·

…………………………………………………………………………………………..

812. ὅς τοι πρῶτος ἐφῆκε βέλος Πατρόκλεες ἱππεῦ

…………………………………………………………………………………………..

813. οὐδὲ δάμασσ'· ὃ μὲν αὖτις ἀνέδραμε, μίκτο δ' ὁμίλῳ,

…………………………………………………………………………………………..

814. ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ' ὑπέμεινε

…………………………………………………………………………………………..

815. Πάτροκλον γυμνόν περ ἐόντ' ἐν δηϊοτῆτι.

…………………………………………………………………………………………..

816. Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς

…………………………………………………………………………………………..

817. ἂψ ἑτάρων εἰς ἔθνος ἐ-χάζετο κῆρ' ἀλεείνων.

…………………………………………………………………………………………..

818. Ἕκτωρ δ' ὡς εἶδεν Πατροκλῆα μεγάθυμον

…………………………………………………………………………………………..

……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………

819. ἂψ ἀναχαζόμενον βεβλημένον ὀξέϊ χαλκῷ,

........................................................................................................

820. ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρὶ

........................................................................................................

821. νείατον ἐς κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·

........................................................................................................

822. δούπησεν δὲ πεσών, μέγα δ' ἤκαχε λαὸν ᾿Αχαιῶν·

........................................................................................................

823. ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,

........................................................................................................

824. ὥ τ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον

........................................................................................................

825. πίδακος ἀμφ' ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·

........................................................................................................

826. πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·

........................................................................................................

827. ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν

........................................................................................................

828. Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,

........................................................................................................

829. καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα·

........................................................................................................

830. Πάτροκλ' ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν,

........................................................................................................

831. Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας

........................................................................................................

……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………………………………………………………
……………………………………………………………

832. ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν

……………………………………………………………………………………………..

833. νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι

……………………………………………………………………………………………..

834. ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς

……………………………………………………………………………………………..

835. Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω

……………………………………………………………………………………………..

836. ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.

……………………………………………………………………………………………..

837. ἆ δείλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,

……………………………………………………………………………………………..

838. ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·

……………………………………………………………………………………………..

839. μή μοι πρὶν ἰέναι Πατρόκλεες ἱπποκέλευθε

……………………………………………………………………………………………..

840. νῆας ἔπι γλαφυρὰς πρὶν Ἕκτορος ἀνδροφόνοιο

……………………………………………………………………………………………..

841. αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.

……………………………………………………………………………………………..

842. ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθε.

……………………………………………………………………………………………..

843. Τὸν δ' ὀλιγοδρανέων προσέφης Πατρόκλεες ἱππεῦ·

……………………………………………………………………………………………..

844. ἤδη νῦν Ἕκτορ μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκε

……………………………………………………………………………………………..

……………………………………………………………………………………………..

……………………………………………………………………………………………..

……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………
……………………………………………………………………………………………

845. νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ με δάμασσαν

……………………………………………………………………………………

846. ῥηιδίως· αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἕλοντο.

……………………………………………………………………………………

847. τοιοῦτοι δ' εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,

……………………………………………………………………………………

848. πάντές κ' αὐτόθ' ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες.

……………………………………………………………………………………

849. ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,

……………………………………………………………………………………

850. ἀνδρῶν δ' Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.

……………………………………………………………………………………

851. ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

……………………………………………………………………………………

852. οὔ θην οὐδ' αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη

……………………………………………………………………………………

853. ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ

……………………………………………………………………………………

854. χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.

……………………………………………………………………………………

855. Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·

……………………………………………………………………………………

856. ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει

……………………………………………………………………………………

857. ὃν πότμον γοόωσα λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.

……………………………………………………………………………………

……………………………………………………………………………………

……………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………

………………………………………………………………………………………………